Storia della Lingua Greca – Laurea Magistrale – 29.9.2021

Aesch. *Eu.* 696-710, 734-751

ΑΘ. τὸ μήτ᾿ ἄναρχον μήτε δεσποτούμενον
ἀστοῖς περιστέλλουσι βουλεύω σέβειν,
καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν.
τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν;
τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας
ἔρυμα {τε} χώρας καὶ πόλεως σωτήριον
ἔχοιτ᾿ ἄν, οἷον οὔτις ἀνθρώπων ἔχει,
οὔτ᾿ ἐν Σκύθῃσιν οὔτε Πέλοπος ἐν τόποις.
κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
αἰδοῖον, ὀξύθυμον, εὑδόντων ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
ταύτην μὲν ἐξέτειν᾿ ἐμοῖς παραίνεσιν
ἀστοῖσιν ἐς τὸ λοιπόν· ὀρθοῦσθαι δὲ χρὴ
καὶ ψῆφον αἴρειν καὶ διαγνῶναι δίκην
αἰδουμένους τὸν ὅρκον. εἴρηται λόγος.

…

ἐμὸν τόδ᾿ ἔργον, λοισθίαν κρῖναι δίκην·
ψῆφον δ᾿ Ὀρέστῃ τήνδ᾿ ἐγὼ προσθήσομαι.
μήτηρ γὰρ οὔτις ἔστιν ἥ μ᾿ ἐγείνατο,
τὸ δ᾿ ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν,
ἅπαντι θυμῷ, κάρτα δ᾿ εἰμὶ τοῦ πατρός.
οὕτω γυναικὸς οὐ προτιμήσω μόρον
ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον.
νικᾷ δ᾿ Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ.
ἐκβάλλεθ᾿ ὡς τάχιστα τευχέων πάλους,
ὅσοις δικαστῶν τοῦτ᾿ ἐπέσταλται τέλος.
ΟΡ. ὦ Φοῖβ᾿ Ἄπολλον, πῶς ἀγὼν κριθήσεται;
ΧΟ. ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ᾿ ὁρᾷς τάδε;
ΟΡ. νῦν ἀγχόνης μοι τέρματ᾿, ἢ φάος βλέπειν.
ΧΟ. ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν.
ΑΠ. πεμπάζετ᾿ ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι,
τὸ μὴ ἀδικεῖν σέβοντες ἐν διαιρέσει.
γνώμης δ᾿ ἀπούσης πῆμα γίγνεται μέγα,
βαλοῦσά τ᾿ οἶκον ψῆφος ὤρθωσεν μία.